§. Ϡπά. Ἔτι τὰ ἐκ τοῦ γῆρας, ἑνὸς ἑπομένου συμφώνου τῇ ρω συλλαβῇ γηρωκόμος, γηρωβοσκός. δύο δ' ἑπομένων, ο. γηροκτόνος, γηροτρόφος.

§. Ϡπβ΄. Ἔτι τὰ ἐκ τοῦ ὄροφος, εἰ ἔχει τὴν πρὸ τοῦ ο συλλαβὴν βραχεῖαν. διώροφον, τριώροφον. εἰ δὲ μακρὰν, ο. χρυσόροφον, ὑψόροφον, παντόροφον.

§. Ϡπγ΄. Ὥσπερ ἄρα καὶ τὰ ἐκ τοῦ ὄλεθρος. ἀνώλεθρος μὲν γὰρ, καὶ ἐπώλεθρος, τῷ μεγάλῳ· ψυχόλεθρος δὲ, καὶ ἀνθρωπόλεθρος, τῷ μικρῷ.

§. Ϡπδ΄. Καὶ τὰ ἐκ τοῦ ὀρύττω δὲ, συνάπτοιτ' ἂν τοῖς εἰρημένοις οἰκείως τυμβορύκτης μὲν γὰρ, καὶ φρεορύκτης, καὶ τειχορύκτης, τῷ μικρῷ ὡς θέσει τοῦ υ ἐκτεινομένου· τυμβωρύχος δὲ, καὶ φρεωρύχος, τῷ μεγάλῳ, ὡς μὴ ἐκτεινομένου τοῦ υ.

## Ῥημάτων Παραληκτικὰ

### Ἐνεστῶτος Ὁριστικοῦ.

### Ὅσα τῷ ε.

§. Ϡπέ. Παραλήγει δὲ, τὰ μὲν εἰς εω, τῷ ε συναιρεῖσθαι δυνάμενα· ποιέω. τὰ δὲ μὴ δυνάμενα, τῇ αι, παλαιῶ. Πλὴν τοῦ ξέω.

§. Ϡπς΄. Ἔτι τὰ εἰς εω καθαρὰ περισπώμενα. στερεῶ. πλὴν τοῦ παλαιῶ, κραταιῶ, περαιῶ. καὶ ὅλως τὰ ἀπὸ Ὀνομάτων διφθογγογραφουμένων. οἷον βέβαιον, βεβαιῶ. ἕδραιον, ἑδραιῶ. γαῖα, γαιῶ.

§. Ϡπζ΄. Ἔτι τὰ εἰς εζω πιέζω. Πλὴν τοῦ παίζω.

§. Ϡπή. Ἔτι τὰ εἰς εθω βαρύτονα. φλεγέθω.

§. Ϡπθ΄. Ἔτι τὰ εἰς ελω θέλω, ὠφελῶ.